
Haec tibi pentadecas tetragonon reſpicit illud.
Hoſpitium petri ⁊ pauli ter quinqʒ dierum.
Namqʒ inſtrumentum vetus hebdoas innuit. octo.
Lex noua ſignatur. ter quinqʒ receptat vtrunqʒ.



Nouum teſtamentum grece ⁊ latine in academia complutenſi nouiter impreſſum.

Que vero ſigillatim ⁊ per ordinem in toto ope continẽtur: hic ſtudioſe lector oculis tuis ſubijciuntur. Primũ oĩʒ tibi occurret epl'a Euſebij pãphili ad carpianũ de cõcordia quattuor euãgeliorũ. Sequitur deinceps prologus hieronymi ad damaſuʒ pappã ⁊ alij eiuſdeʒ doctoris prologi. Poſt hec ſuccedũt quattuor euãgelia greco ſermõe cũ latina btĩ hieronymi trãſlatõe ex oppoſito. Deide ſequũtur duo greci tractatus. alter de peregrinatiõe btĩ Pauli: ⁊ euthalij diaconi alter de tpib⁹ p̃dicatiõis: ⁊ martyrio eiuſdẽ. Succedũt poſtea hypotheſes ſiue argumẽta theodoriti doctoris greci eminẽtiſſimi in epl'as btĩ pauli: ⁊ in epl'as canonicas: ⁊ itẽ argũta alia in eaſdẽ alterius doctoris greci innominati. Poſt hec ſequũtur epl'e ipſe btĩ Pauli: cũ reliqs noui teſtĩ opibus: oĩa cũ interpretatione latina eiuſdẽ beati hieronymi e regiõe. Deide ſubiũgitur vocabulariũ grecũ cõtinẽs oẽs dictiões totius noui teſtamenti ⁊ inſuper ſapientie ⁊ eccl'iaſtici grece ⁊ latine cũ breuiſſima quadã in initio ad grecas litteras ĩtroductiõe. Poſtremo loco librũ claudunt interpretatiões oĩm totius noui teſtamenti vocabulorum que tam grecam quã hebraicã ⁊ chaldaicam ſortita ſunt etymologiã ab initio matthei vſqʒ ad finẽ Apocalypſis.

BIBLIOTECA NACIONAL
BIB. DE D. LUIS DE USOZ 1873
© Biblioteca Nacional de España

© Biblioteca Nacional de España

Πρὸς τοὺς ἐντευξομένους.

Ἵνα μὴ θαυμάσῃς ὦ σπουδαῖε φιλολόγε μὴ δὲ σχῇς πρὸς ἡμᾶς ἀηδῶς εἰ
ἐν παρούσῃ τῆς νέας διαθήκης γραικοτυπώσει ἑτεροτρόπως ἢ ἐν τῆς πα
λαιᾶς τὰ στοιχεῖα μόνα ἄνευ τῶν πνευμάτων καὶ τῶν τόνων ἐντετυπω
μένα ἐξεδόθη, προὔργου νενομίκαμεν τὴν τοῦ πράγματος τούτου αἰτί
αν πᾶσιν κατὰ τὰ πρῶτα ἐμπεφανίσθαι. ἔστι δὲ καὶ τοιαύτη. τοὺς ἀρχαιοτά=
τους τῶν ἑλλήνων χωρὶς τούτων ἐν τοῖς χαρακτῆρσι κορυφῶν γράφειν εἰθισ=
μένους, σαφέστερόν ἐστιν ἢ πολλῶν δεῖσθαι μαρτυριῶν. καὶ γὰρ δηλοῖ τοῦτο
φανερῶς παλαιά τινα κοὐκ ὀλίγα τῶν ἀντιγράφων, οἷον καλλιμάχου ποιή=
ματα καὶ τὰ σιβύλλης ἔπη, καὶ πεπαλαιωμέναι ἐν τῇ πόλει λίθων γλυφαὶ μό=
νοις ἁπλῶς γράμμασι ἐγκεχαραγμέναι. ὥστε πάντως εἶναι πρόδηλον, ῥαβδίσ
κων τούτων καὶ κεραιῶν ὑπερθέσεις ἐν τῇ πρώτῃ ἐκείνῃ τῆς γλώττης ἑλληνικῆς
γενεσιουργίᾳ μὴ ἐπινενοημένας, μήτε πρὸς ὁλόκληρον τῆς αὐτῆς φωνῆς τε=
λειότητα πανταχόθεν συντετακυίας. ἐπειδὴ δὲ καὶ πᾶσαν τὴν νέαν διαθήκην
τοῦ κατὰ ματθαῖον εὐαγγελίου καὶ τῆς πρὸς ἑβραίους ἐπιστολῆς δεόντων, ἑλ
ληνικῇ ἀπ᾽ ἀρχῆς διαλέκτῳ ὥσπερ καὶ ὑπὸ τοῦ ἁγίου πνεύματος ἐχρηματίσ
θη, συγγεγράφθαι πάντες ὁμολογοῦσιν, ἔδοξε καὶ ἡμῖν ἀρχαίαν ἐν αὐτῇ τῆς
αὐτῆς γλώττης παλαιότητα καὶ μεγαλοπρέπειαν ὁσίως διατηρεῖν, καὶ τὴν βί=
βλον ἄνευ ὁποσοῦν ἐλαχίστων προσθηκῶν, ἀρχαίων γραφῶν δίκην ἐκδιδό
ναι. ὡς μὴ φανῶμεν πρᾶγμα οὕτως δήτοι ἱερὸν καὶ αἰδεσίμης μεγαλοφροσύ
νης πλῆρες κατ᾽ ἀλλοτρίας αὐτῷ προσεπιβεβλημένας καὶ νέας ἐργασίας ἀνα
καινοτομῆσαι. πρὸς δὲ τούτοις εἰ τἀληθὲς λεκτέον ἐστὶ, ἡ τῶν πνευμάτων
καὶ τόνων ἔνδεια τοῖς ὁσονδήποτε ἐν τοῖς ἑλληνικοῖς λόγοις γεγυμνασμένοις
οὐδὲν πρόσκομμα ἐπιφέροιεν ἄν. λέγω δὲ πρὸς τὴν εἰλικρινῆ τῶν λεγομένων
ἔννοιαν ἀναφέρων. οὐ μὴν ἀλλὰ ἵνα μήτις ἀπορήσῃ ἐν ποίᾳ τῶν συλλαβῶν προ
σήκει τὸν τόνον ἐφαρμόζειν, ἁπλῇ μόνον ἐν ταῖς πολυσυλλάβοις λέξεσι κε=
ραία προσηρτήθη. οὐ μέντοι τόνος αὐτὴ ἑλληνικὸς ὑπολαβέσθω, ἀλλὰ γνω=
μόνιόν τι καὶ σημεῖον ὑφοῦ ἀπευθύνοιτ᾽ ἂν ὁ φιλομαθής, ὥστε μὴ διαμαρτάνειν
ποτὲ ἐν τῇ ἐκφορᾷ καὶ εὐρυθμίᾳ τῶν λέξεων. ἐν δὲ τῆς ἀρχαίας διαθήκης ἑλληνι
κῇ ἐκδόσει ὅτι αὐτὴ μετάφρασις παντῆ που ἀλλ᾽ οὐ πρωτοποίητος σύνταξις
οὐκ ἔδοξε τι ἐκ τῆς κοινῆς ἐν τῷ γράφειν συνηθείας ἢ ἀφαιρεῖν ἢ ἐναλλάξαι. ἐ=
πειδὴ δὲ οὐ τοῖς πολυμαθέσι μόνον ἀλλ᾽ ἅπασι καθόλου τοῖς περὶ τὴν ἁγίαν
γραφὴν σχολάζουσι συντελεῖν ἡ βίβλος αὕτη πεφιλοτίμηται, ἐφ᾽ ἑκάστῃ τῶν
λέξεων γραμματίδια ῥωμαϊκὰ κατὰ στοιχεῖον ἐπετέθη, ἃ ἐπιδεικνύει τὴν ἀμφο
τέρων πρὸς τὰς ἑτέρας καταντικρὺ κειμένας ἐπάλληλον σύγκρισιν. ὅπως οὐ=
δὲν ᾖ πρὸς τὸ σφάλλεσθαι ἐνδόσιμον τοῖς μαθητιῶσι καὶ μήπω εἰς ἄκρον τῶν
ἑλληνικῶν ἀφιγμένοις. ἔτι δὲ ἐπείπερ ἐγχωροῦσιν ἐνίοτε λέξεις ἑλληνικαὶ πολυ
σχιδεῖς δοκοῦσαι ἔχειν καὶ ἀμφιβόλους καὶ ἄλλας τινὰς διχογνώμους σημα=
σίας, διὰ σπουδῆς ἡμῖν ἐγένετο σημειοῦν καὶ τοῦτο, ὑποκειμένῃ στιγμῇ ῥωμαϊ
κῷ γραμματιδίῳ ὑπὲρ τὴν ἑλληνικὴν καθεστηκότι λέξιν. καὶ ἵνα παύσωμεν προ
οιμιάζοντες, κἀκεῖνο τὸν φιλομαθῆ μὴ λανθανέτω, οὐ φαῦλα ἡμᾶς οὐδὲ τυχόν
τα ἐπὶ τῇ ἡμετέρᾳ ἐντυπώσει ἐσχηκέναι ἀντίγραφα, ἀλλ᾽ ἀρχαιότατα καὶ καθόσον
οἷόν τε ἦν ἐπηνορθωμένα, καὶ δὴ καὶ κατὰ τὴν παλαιότητα οὕτως ἀξιόπιστα, ὥστε
μὴ πείθεσθαι αὐτοῖς, πρὸς δυσκόλου εἶναι τοπαράπαν καὶ βεβήλου. ἃ δὴ καὶ αὐ
τὰ ὁ ἁγιώτατος ἐν Χριστῷ πατὴρ καὶ κύριος ἡμῶν ὁ μέγιστος ἀρχιερεὺς λέων
δέκατος τῇ ὁρμῇ ταύτῃ συλλαμβάνειν προθυμούμενος, ἐκ τῆς ἀποστολικῆς βι
βλιοθήκης ἀγόμενα, ἔπεμψε πρὸς αἰδεσιμώτατον κύριον τῆς ἱσπανίας καρδηνά
λιον, οὗ χορηγοῦντος καὶ κελεύσαντος τὸ παρὸν βιβλίον ἐτυπώσαμεν. ὑμεῖς δὲ
οἱ τῆς παιδείας ἐρῶντες θεῖον τουτὶ καὶ ἱεροπρεπὲς τοὔργον νεωστὶ ἐντετυπω
μένον μετὰ πάσης δέχεσθε προθυμίας. κἂν τοῦ Χριστοῦ τοῦ κυρίου καὶ θεοῦ ἡ
μῶν μιμηταὶ φανῆναι καὶ τοῖς ἔργοις γενέσθαι σπουδάζετε, ἴστε ὅτι οὐδεμία
ὑμῖν ἔτι πρόφασις λοιπὴ τὸ μὴ τῇ θείᾳ γραφῇ συνομιλεῖν. οὐκέτι ἀντίγραφα
διεφθαρμένα, οὐ μεταφράσεις ὕποπται, οὐκ ἀπορίαν τῆς ἀπογράφου φράσε

ὡς ἀπορεῖτε. τὸ θέλημα μόνον τὸ ὑμέτερον καὶ προθυμίαν προσδεχόμεθα. ἧς μὴ
ὑπολειπούσης, ἀναμπιρρήτως ἔσται οὕτως. τῆς γὰρ γλυκύτητος τῶν θείων λό
γων γευσάμενοι, τὰς λοιπὰς τῶν ἐπιστημῶν μακρὰν χαίρειν ἐάσετε. ἐντυχεῖ=
τε, καὶ τὸν καινουργισμὸν τῆς ἡμετέρας ἐργολαβίας μὴ ἐκφαυλίσητε.

Precedens Greca prefatiuncula in latinum verſa.

Ad Lectorem.

NE mireris aut vitio vertas o ſtudioſe lector ꝙ in hac noui teſtamenti greca editione a
liter q̄ in veteri nude tantum littere ſine vllis aut ſpirituum aut tonorum notis impreſ
ſe publicentur: operepretium viſum eſt huius tibi rei rationem aſſignare. Ea eniꝫ hu
iuſmodi eſt. Antiquiſſimos grecos abſqꝫ hiſce faſtigijs litterarum ſcriptitaſſe notius
eſt: q̄ vt ſit multis argumētis comprobandum. Docent enim id aperte antiqua non
pauca exemplaria: vt Callimachi poemata: nec non ⁊ Sibyllina carmina: ac preterea etiaꝫ marmo
rea monumenta vetuſtiſſima que rome adhuc viſuntur nudis ſoluꝫ characteribus inciſa. Ut liquido
conſtet huiuſmodi virgularum apicūqꝫ ſupraſcriptiones non in illa primeua grece lingue origine fu
iſſe excogitatas: nec ad eius integritatem vſquequaqꝫ pertinuiſſe. Cum igitur vniuerſum nouum teſta
mentum preter Euangelium Matthei ⁊ epiſtolaꝫ ad Hebreos grece primum ſicut a ſpiritu ſancto
dictatum eſt: ſcriptum eſſe conſtet: viſum eſt priſcam in eo lingue illius vetuſtatem maieſtatēqꝫ in=
tactam retinere: ac opus ipſum pretermiſſis etiam ipſis quibuſuis minimis appendiculis excuſſum
ad imaginem antiquarum ſcripturarum publicare. Ne rei tam ſancte authoritati ac venerande
maieſtati adiectitijs nouitijſqꝫ rebus detrimentuꝫ afferri videretur. Accedit ꝙ ſi verum fateri volu=
mus: hic ſpirituum tonorumqꝫ defectus nullum prorſus impedimentum ad rectam intelligentiaꝫ
afferre valet his qui aliquantum in greca eruditione promouerunt. Ceterum ne alicui dubium ali=
quod poſſit occurrere in qua videlicet ſyllaba accētum oporteat collocari: ſimplex tantum apex i po
lyſyllabis dictionibus adiectus eſt: ⁊ is quidē nō tanq̄ grecus accentus: ſed tanq̄ notula ſignumqꝫ
quo dirigi poſſit lector ne in prolatione modulatione ve dictionum aliquando labatur. In veteris
autem teſtamenti editione greca cum ea ſolū tranſlatio ſit non originalis textus: non fuit conſilium
quicq̄ ex vulgari ſcribendi modo tollere aut immutare. Et qꝛ nō doctis ſolum: ſed omnibus in vni=
uerſum ſacrarū litterarū ſtudioſis hoc opere cōſulendū eſt: appoſite ſunt dictioni cuiqꝫ litterule lati=
ne ordine alphabeti indicantes que dictio dictioni e regione reſpondeat: ne ſit nouitijs ⁊ nondū ad=
huc in grecis litteris prouectis errandi locus. Rurſus cū nonnulle dictiones grece multiplices ſi=
ue equiuocas aut alias ambiguas ſignificationes aliqñ habere videantur: libuit hoc etiā annotare
pūcto ſuppoſito litterule latine ſupra dictioneꝫ grecam collocate. Et vt prefatiūcule tandeꝫ huic mo
dus imponatur: illud lectorē nō lateat: nō queuis exemplaria ipreſſioni huic archetypa fuiſſe: ſꝫ anti
quiſſima emēdatiſſimaqꝫ: ac tante preterea vetuſtatis: vt fidem eis abrogare nefas videatur. Que
ſctiſſimus in xp̄o pr̄ ⁊ dñs nr̄ Leo decimus pontifex maximus huic iſtituto fauere cupiēs ex apl̄ica
bibliotheca educta miſit ad Reuerendiſſimū dñm Cardinalē hiſpanie: de cuius authoritate ⁊ māda
to hoc opus imprimi fecimus. Uos aūt litteraruꝫ ſtudioſi hoc diuinū opus nouiter excuſſum alacri
animo ſuſcipite: et ſi chriſti Opt. Max. ſectatores videri vultis ⁊ eſſe: nil iam reſtat qđ cauſemini
quominus ſacram ſcripturā adeatis. Nō mendoſa exemplaria: non ſuſpecte tranſlationes: non ino
pia textus originalis: ſolum animus ⁊ propenſio veſtra expectatur. Que ſi non defuerit: fiet proculdu
bio vt litterarum diuinarum ſuauitatē deguſtantes reliqua ſtudia omnia contemnatis. Ualete ⁊ om
nia boni conſulite.

© Biblioteca Nacional de España

Εὐσέβιος καρπιανῷ ἀγαπητῷ ἀδελφῷ ἐν κυρίῳ χαίρειν.

Ἀμμώνιος μὲν ὁ ἀλεξανδρεὺς πολλὴν ὡς εἰκὸς φιλοπονίαν καὶ σπουδὴν εἰσαγηοχὼς, τὸ διὰ τεσσάρων ἡμῖν καταλέλοιπεν εὐαγγέλιον, τῷ κατὰ ματθαῖον τὰς ὁμοφώνους τῶν λοιπῶν εὐαγγελιστῶν περικοπὰς παραθεὶς. ὡς ἐξ ἀνάγκης συμβῆναι τὸν τῆς ἀκολουθίας εἱρμὸν τῶν τριῶν διαφθαρῆναι ὅσον ἐπὶ τῷ ὕφει τῆς ἀναγνώσεως. ἵνα δὲ σωζομένου καὶ τοῦ τῶν λοιπῶν δι ὅλου σώματός τε καὶ εἱρμοῦ, εἰδέναι ἔχοις τοὺς οἰκείους ἑκάστου εὐαγγελίου τόπους, ἐν οἷς κατὰ τῶν αὐτῶν ἠνέχθησαν, φιλαλήθως εἰπεῖν ἐκ τοῦ πονήματος τοῦ προειρημένου ἀνδρὸς εἰληφὼς ἀφορμὰς, καθ ἑτέραν μέθοδον κανόνας δέκα τὸν ἀριθμὸν διεχάραξά σοι τοὺς ὑποτεταγμένους. ὧν ὁ μὲν πρῶτος περιέχει ἀριθμὸς ἐν οἷς τὰ παραπλήσια εἰρήκασιν οἱ τέσσαρες, ματθαῖος, μάρκος, λουκᾶς, ἰωάννης. ὁ δεύτερος ἐν ᾧ οἱ τρεῖς. ματθαῖος, μάρκος, λουκᾶς. ὁ τρίτος, ἐν ᾧ οἱ τρεῖς. ματθαῖος, λουκᾶς ἰωάννης. ὁ τέταρτος, ἐν ᾧ οἱ τρεῖς. ματθαῖος, μάρκος, ἰωάννης. ὁ πέμπτος ἐν ᾧ οἱ δύο. ματθαῖος, λουκᾶς. ὁ ἕκτος, ἐν ᾧ οἱ δύο. ματθαῖος, μάρκος. ὁ ἕβδομος ἐν ᾧ οἱ δύο. ματθαῖος, ἰωάννης. ὁ ὄγδοος ἐν ᾧ οἱ δύο. μάρκος. λουκᾶς. ὁ ἔννατος ἐν ᾧ οἱ δύο. λουκᾶς, ἰωάννης. ὁ δέκατος, ἐν ᾧ ἕκαστος αὐτῶν περί τινων ἰδίως ἀνέγραψεν. αὕτη μὲν οὖν ἡ τῶν ὑποτεταγμένων κανόνων ὑπόθεσις. ἡ δὲ σαφὴς αὐτῶν διήγησις ἔστιν ἥδε. ἐφ ἑκάστῳ τῶν τεσσάρων εὐαγγελίων, ἀριθμός τις πρόκειται κατὰ μέρος, ἀρχόμενος ἀπὸ τοῦ πρώτου, εἶτα δευτέρου καὶ ἕκτου, καὶ καθεξῆς προϊὼν δι ὅλου μέχρι τοῦ τέλους τῶν βιβλίων. καθ ἕκαστον δὲ ἀριθμὸν ὑποσημείωσις πρόκειται διὰ τοῦ λαχᾶ, δηλοῦσα ἐν ποίῳ τῶν δέκα κανόνων κείμενος ἀριθμὸς τυγχάνει. εἰ μὲν ἄλφα, δῆλον ὡς ἐν τῷ πρώτῳ. εἰ δὲ βῆτα, ἐν τῷ δευτέρῳ. καὶ οὕτως μέχρι τῶν δέκα. εἰ οὖν ἀναπτύξας ἕν τι τῶν τεσσάρων εὐαγγελίων ὁποῖον δήποτε βουληθείης ἐπιστῆναι τινι ᾧ βούλει κεφαλαίῳ, καὶ γνῶναι τίνες τὰ παραπλήσια εἰρήκασι καὶ τοὺς οἰκείους ἑκάστου τόπους εὑρεῖν ἐν οἷς κατὰ τῶν αὐτῶν ἠνέχθησαν, ἧς ἐπέχεις περικοπῆς ἀναλαβὼν τὸν προκείμενον ἀριθμὸν, ἐπιζητήσας τε αὐτὸν ἔνδον ἐν τῷ κανόνι ὃν ἡ τοῦ λαχᾶ ὑποσημείωσις ὑποβέβληκεν, εἴσῃ μὲν εὐθὺς ἐκ τῶν ἐπὶ μετώπου τοῦ κανόνος ὑπογραφῶν ὁπόσοι τε καὶ τίνες περὶ οὗ ζητεῖς εἰρήκασιν. ἐπιστήσας τε καὶ τοῖς τῶν λοιπῶν εὐαγγελιστῶν ἀριθμοῖς τοῖς ἐν τῷ κανόνι ᾧ ἐπέχεις ἀριθμῷ παρακειμένοις, ἐπιζητήσας δὲ αὐτοὺς ἔνδον ἐν τοῖς οἰκείοις ἑκάστου εὐαγγελίου τόποις, τὰ παραπλήσια λέγοντας αὐτοὺς εὑρήσεις. ἔρρωσο ἐν κυρίῳ.

BIBLIOTECA NACIONAL

© Biblioteca Nacional de España

Incipit epiſtola beati Hieronymi ad Dama
ſum pappam in quattuor euangeliſtas.

BEatiſſimo pappe
Damaſo Hierony
mꝰ. Nouuȝ opꝰ me
facere cogis ex vete
ri: vt poſt exempla=
ria ſcripturarum to
to orbe diſperſa qua
ſi quidam arbiter ſe
deaȝ: ⁊ quia inter ſe
variant: que ſint illa que cum greca conſentiāt
veritate decernam. Pius labor: ſed periculo
ſa preſumptio: iudicare de ceteris ipſū ab om
nibus iudicandum: ſenis mutare linguā ⁊ ca=
neſcentem mundum ad initia retrahere par=
uulorum. Quis eniȝ doctus pariter vel indo
ctus: cum in manus volumen aſſumpſerit: ⁊
a ſaliua quam ſemel imbibit viderit diſcrepa=
re quod lectitat: non ſtatim erumpat in voceȝ
me falſariuȝ me clamans eſſe ſacrilegum: qui
audeaȝ aliquid in veteribus libris addere mu
tare corrigere. Aduerſus quam inuidiam du
plex cauſa me conſolatur: quod ⁊ tu qui ſum=
mus ſacerdos es fieri iubes: ⁊ verum non
eſſe quod variat etiam maledicorum teſtimo=
nio comprobatur. Si enim latinis exemplari=
bus fides eſt adhibenda: reſpondeant quibus
tot ſunt exēplaria pene quot codices. Sin au
tem veritas eſt querenda de pluribus: cur nō
ad grecam originem reuertentes ea que vel a
vicioſis interpretibus male edita: vel a preſū=
ptoribus imperitis emēdata peruerſius: vel
a librarijs dormitantibus aut addita ſunt aut
mutata: corrigimus. Neqȝ vero ego de veteri
diſputo teſtamento: quod a ſeptuaginta ſenio
ribus in grecam linguam verſum tertio gra=
du ad nos vſqȝ peruenit. Non quero quid aq̄
la: quid ſymmachus ſapiant: quare theodotiō
inter nouos ⁊ veteres medius incedat. Sit il=
la vera interpretatio: quam apoſtoli probaue
runt. De nouo nunc loquor teſtamento: quod
grecum eſſe non dubium eſt: excepto apoſtolo
mattheo: qui primus in iudea euangeliū chri
ſti hebraicis litteris edidit. Hoc certe cū in no
ſtro ſermone diſcordat ⁊ diuerſos riuulorum
tramittes ducit: vno de fonte querendus eſt.
Pretermitto eos codices quos a luciāo ⁊ he
ſitio nuncupatos paucorum hominum aſſe
rit peruerſa contētio: quibus vtiqȝ nec in ve=
teri inſtrumento poſt ſeptuaginta interpretes
emendare quid licuit: nec in nouo profuit emē
daſſe: cum multarum gentium linguis ſcriptu
ra ante trāſlata doceat falſa eſſe que addita
ſunt. Igitur hec pñs prefatiuncula pollicetur
quattuor tantum euangelia: quorum ordo eſt
iſte. Mattheus. Marcus. Lucas. Iohānes
codicum grecorum emendata collatione ſed
veterum: que ne multuȝ a lectionis latine cō
ſuetudine diſcreparent: ita calamo imperaui=
mus vt his tantum que ſenſū videbantur mu
tare correctis: reliqua manere pateremur vt
fuerant. Canones quoqȝ quos Euſebius ce=
ſarienſis epūs alexandrinuȝ ſecutus Ammo
nium in decem numeros ordinauit: ſicut in
greco habētur expreſſimus. Quod ſi quis de
curioſis voluerit noſſe que in euangelijs vl' ea
dem vel vicina vel ſola ſint: eorum diſtinctio
ne cognoſcet. Magnus ſi quidem hic in no=
ſtris codicibus error inoleuit: duȝ quod in ea
dem re alius euangeliſta plus dixit: in alio
quia minus putauerint addiderunt: vel dum
eundem ſenſum alius aliter expreſſit: ille qui
vnum e quattuor primum legerat: ad eius e=
xempluȝ ceteros quoqȝ eſtimauerit emendan
dos. Unde accidit vt apud nos mixta ſint oīa
⁊ in Marco plura luce atqȝ matthei. Rurſuȝ
in mattheo plura iohannis ⁊ marci: ⁊ in cete
ris reliquorum que in alijs propria ſunt inue=
niantur. Cum itaqȝ canones legeris qui ſu=
biecti ſūt: confuſionis errore ſublato: ⁊ ſimilia
omnium ſcies: ⁊ ſingulis ſua queqȝ reſtitues.
In canone primo cōcordāt quattuor: matthe
us marcus lucas iohannes. In ſecundo tres
mattheus marcus lucas. In tertio tres: mat
theus lucas iohānes. In quarto tres matthe
us marcus iohānes. In quinto duo: matthe
us lucas. In ſexto duo: mattheꝰ marcus. In
ſeptimo duo: mattheus iohannes. In octauo
duo: lucas marcꝰ. In nono duo: Lucas iohā
nes. In decimo: propria vnuſquiſqȝ que non
habētur in alijs ediderūt. Singulis vero euā
gelijs ab vno incipiens vſqȝ ad finem librorū
diſpar numerus accreſcit. Hic nigro colore
preſcriptus ſub ſe habet alium ex minio diſco
lorem numerum qui ad deceȝ vſqȝ procedēs
indicat prior numerus in quo ſit canone req̄=
rendus. Cum ergo aperto codice (verbi gra=
tia) illud ſiue illud capitulum ſcire volueris
cuius canonis ſit: ſtatim ex ſubiecto nume=
ro doceberis: ⁊ recurrens ad principia in qui
bus canonum eſt diſtincta congeries: eodem=
qȝ ſtatim canone ex titulo frontis inuento: il=
lum quem querebas numerum eiuſdem e=
uangelij qui ⁊ ipſe ex inſcriptione ſignatur in
uenies: atque e vicino ceterorū tramitibus in

© Biblioteca Nacional de España

ſpectis:quos numeros e regione habeant ad notabis:⁊ cuꝫ ſcieris:recurres ad volumina ſingulorum:⁊ ſine mora repertis numeris quos ante ſignaueras reperies ⁊ loca in quibus vel eadem vel vicina dixerunt. Opto vt in chriſto valeas ⁊ memineris mei pappa btiſſime.

Incipit alius prologus.

PLures fuiſſe q̄ euangelia ſcripſerunt: Lucas euāgeliſta teſtatur dicens. Quoniam quidem multi conati ſunt ordinare narrationem rerum que in nobis complete ſunt: ſicut tradiderunt nobis qui ab initio ipſi viderunt ſermonem:⁊ miniſtrauerūt ei:⁊ perſeuerantia vſqꝫ ad preſens tempus monimenta declarant que a diuerſis auctoribus edita diuerſarū hereſum fuere principia: vt eſt illud iuxta egyptios ⁊ Thomam ⁊ Matthiam ⁊ Bartholomeum: duodecim quoqꝫ apoſtolorum ⁊ baſilidis atqꝫ appollinis ac reliquoruꝫ: quos enumerare longiſſimum eſt: cum hec tantum in preſentiarum neceſſe ſit dicere: extitiſſe quoſdam qui ſine ſpiritu ⁊ gratia dei conati ſūt magis ordinare narrationem: quam hiſtorie texere veritateꝫ. Quibus iure poteſt illud propheticum coaptari. Ve qui prophetant de corde ſuo: qui ambulant poſt ſpiritum ſuum: qui dicunt hec dicit dominus ⁊ dominus non miſit eos. De quibus ⁊ ſaluator in euangelio iohannis loquitur. Omnes q̄ ante me venerūt fures fuerunt ⁊ latrones. Qui venerunt non qui miſſi ſunt. Ipſe enim ait. Veniebāt ⁊ ego non mittebam eos. In uenientibus preſumptio temeritatis: in miſſis obſequium ſeruitutis eſt. Eccleſia auteꝫ que domini voce ſupra petram fundata eſt: quaꝫ introduxit rex in cubiculum ſuum: ⁊ ad quaꝫ per foramen deſcenſionis occulte miſit manum ſuam ſimilis damule hinnuloqꝫ ceruorum: quatuor flumina paradiſi inſtar eructans quattuor ⁊ angulos ⁊ annulos habet per quos quaſi arca teſtamēti ⁊ cuſtos legis domini lignis mobilibus vehitur. Primus omnium matheus eſt publicanus cognomento leui qui euangelium in iudea hebreo ſermone edidit: ob eorum vel maxime cauſam qui in ieſum crediderant ex iudeis: ⁊ nequaq̄ legis vmbra ſecedente euangelij veritatem ſeruabant. Secundus marcꝰ interpres apoſtoli petri: ⁊ alexandrine eccleſie primus epiſcopus: qui dominum quidem ſaluatorem ipſe nō vidit: ſed ea que audierat magiſtrum predicantem iuxta fidem magis geſtorum narrauit q̄ ordinem. Tertius Lucas medicus natione ſyrus antiocenſis cuius laus in euangelio: qui ⁊ ipſe diſcipulus apoſtoli pauli in achaie bythinieqꝫ partibus volumen condidit: quedam altius repetens et vt ipſe in prohemio cōfitetur audita magis q̄ viſa deſcribens. Ultimus iohannes apoſtolus ⁊ euangeliſta quem ieſus amauit plurimuꝫ: qui ſuper pectus domini recumbens puriſſima doctrinarum fluenta potauit: ⁊ qui ſolus de cruce meruit audire. Ecce mater tua. Is cuꝫ eſſet in aſia: et iam tunc hereticoruꝫ ſemina pullularent cherinthi ⁊ hebionis ⁊ ceterorum qui negant chriſtum in carne veniſſe: quos ⁊ ipſe in epiſtola ſua antichriſtos vocat: ⁊ apoſtolus paulus frequēter percutit: coactꝰ eſt ab omnibus pene tūc aſie epiſcopis ⁊ multarum eccleſiarum legationibus de diuinitate ſaluatoris altius ſcribere: ⁊ ad ipſuꝫ (vt ita dicam) dei verbuꝫ non tam audaci q̄ felici temeritate prorumpere: vt eccleſiaſtica narrat hiſtoria cum a fratribus cogeretur vt ſcriberet: ita facturum ſe reſpondiſſe ſi indicto ieiunio in cōmune omnes deum deprecarētur. Quo expleto: reuelatiōe ſaturatus in illud ꝓhemium celo veniens eructauit. In principio erat verbuꝫ: ⁊ verbuꝫ erat apud deum: ⁊ deus erat verbuꝫ: hoc erat in principio apud deum. Hec igitur quattuor euāgelia multo ante predicta ezechielis quoqꝫ volumē probat: in quo prima viſio ita contexitur. Et in medio ſimilitudo quatuor animaliuꝫ ⁊ vultus eoruꝫ. Facies hominis ⁊ facies leonis ⁊ facies vituli ⁊ facies aquile. Prima hominis facies matheum ſignificat qui quaſi de homine exorſus eſt ſcribere. Liber generationis Jeſu chriſti filij dauid filij abraā. Secunda marcī in quo vox leonis in heremo rugientis auditur. Vox clamantis in deſerto parate viaꝫ domini rectas facite ſemitas eius. Tertia vituli: que euangeliſtam lucā a zacharia ſacerdote ſumpſiſſe initium prefigurat. Quarta iohanneꝫ euangeliſtaꝫ: qui aſſumptis pennis aquile ⁊ ad altiora feſtinās de verbo dei diſputat. Cetera que ſequūtur in eundem ſenſum proficiunt. Crura eorum recta ⁊ pennati pedes: ⁊ quocūqꝫ ſpiritus ibat ibant ⁊ non reuertebātur: ⁊ dorſa eorum plena oculis: ⁊ ſcintille ac lāpades in medio diſcurrētes: ⁊ rota in rota: et in ſingulis q̄ttuor facies. Unde ⁊ apocalypſis iohānis poſt expoſitionē viginti quattuor ſeniorꝫ qui tenentes citharas ⁊ phialas adorantes agnuꝫ dei: introducit fulgura atqꝫ tonitrua: ⁊ ſepteꝫ ſpi=

© Biblioteca Nacional de España

ritus diſcurrentes et mare vitreuꝫ ⁊ quatuoꝛ
animalia plena oculis dicēs. Animal pꝛimū
ſimile leoni: ⁊ ſecunduꝫ ſimile vitulo: ⁊ tertiuꝫ
ſimile homini: ⁊ quartum ſimile aquile volan
ti. Et poſt paululuꝫ. Plena inquit erant ocu=
lis: ⁊ requieꝫ non habebant die ac nocte dicen
tia. Sanctus ſanctus ſanctus dominus deꝰ
omnipotens: qui erat ⁊ qui eſt ⁊ qui venturus
eſt. Quibus cunctis perſpicue oſtēditur qua
tuoꝛ debere tantum euangelia ſuſcipi: ⁊ oēs
apocryphoꝛum nenias moꝛtuis magis heretici
cis ꝙ eccleſiaſticis viuis canēdas.

Sequitur pꝛologus in Mattheum.

[M]Attheus cum pꝛimo pꝛedicaſ
ſet euangelium in iudea: vo=
lens tranſire ad gentes pꝛimꝰ
euangelium ſcripſit hebꝛaice:
quod fratribus a quibus ibat
ad memoꝛiam reliquit. Sicut enim neceſſe fu
it ad confirmationem fidei euangelium pꝛe=
dicari: ſic ⁊ contra hereticos ſcribi. Cum au
tem plures euangelium ſcripſerint: quattuoꝛ
tantum habent autoꝛitatis teſtimoniuꝫ: quia
per quattuoꝛ mundi partes fidem nūciant tri
nitatis: ⁊ ſūt quaſi quattuoꝛ rote in quadriga
domini que vehit eum per pꝛedicationeꝫ euā
gelij: ⁊ genus humanum quadrifida moꝛte
peremptum eoꝛum erat pꝛedicatione viuifi=
canduꝫ. Unde ⁊ alioꝛum euangelia deciderūt
nec recepta ſunt: quia nolebant pꝛefinitum nu
merum caſſari pꝛopter virtutem ſacramenti.
Deſignantur etiam euangeliſte quattuoꝛ figu
ris que non ſunt deceptoꝛie: ſed iocundi myſte
rij ſibi conſcie. Mattheus in homine intelli=
gitur: quia circa humanitatem chꝛiſti pꝛinci=
palr̄ imoꝛatur. Marcus in leōe: q2 agit de re
ſurrectione. Lucas in vitulo: agens de ſacer=
dotio. Johannes in aquila ſcribens ſacramē=
ta diuinitatis. Chꝛiſtus vero quem deſcribūt
homo fuit de virgīe natus. Uitulus in immo
latione. Leo in reſurrectione. Aquila in aſcen
ſione. Uel in homine humanitas. In vitulo
ſacerdotium. In leone regnum. In aquila ex
pꝛimitur diuinitatis ſacramentum.

Explicit pꝛologus.

Incipit argumentum in euangelium ſeꝫ
Mattheum.

[M]Attheus ex iudea ſicut in oꝛdi
ne pꝛimus ponitur: ita euange
lium in iudea pꝛimus ſcripſit:
cuius vocatio ad dominum ex
publicanis actibus fuit: duoꝛū
in generatione chꝛiſti pꝛincipia pꝛeſumēs: vni
us cuius pꝛima circunciſio in carne: alterius
cuius ſm̄ coꝛ electio fuit. Ex vtriſqꝫ enim pa=
tribus chꝛiſtus. Sicqꝫ quaterdenario nume=
ro trifoꝛmiter poſito pꝛincipium a credendi fi
de in electionis tempus poꝛrigēs ⁊ ex electio
ne vſqꝫ in tranſmigrationis diem dirigens at
qꝫ a tranſmigrationis die vſqꝫ in xp̄m defini=
ens: decurſam aduentus domini oſtendit ge=
nerationeꝫ: vt numero ſatiſfaciens ⁊ tempoꝛi
⁊ ſe quid eſſet oſtenderet: ⁊ dei in ſe opus mon
ſtrans etiam in his quoꝛum genus poſuit: xp̄i
operantis a pꝛincipio teſtimonium non nega
ret. Quarum omnium rerum tempus oꝛdo
numerus diſpoſitio vel ratio qꝺ fidei neceſſa
rium eſt: deus chꝛiſtus eſt: qui factus eſt ex mu
liere: factus ſub lege: natus ex virgine: paſſus
in carne: omnia in cruce fixit: vt triumphans
ea in ſemetipſo reſurgens in coꝛpoꝛe: ⁊ patris
nomen in patribus filio: ⁊ filij nomen patri re
ſtituens in filijs: ſine pꝛincipio ſine fine: oſten
dens vnum ſe cum patre eſſe q2 vnus eſt. In
quo euangelio vtile eſt deſiderantibus deum
ſic pꝛima vel media vel perfecta cognoſcere:
vt ⁊ vocationem apoſtoli ⁊ opus euangelij et
dilectionem dei in carne naſcentis per vniuer
ſa legentes intelligant: atqꝫ id in eo in quo re
pꝛehenſi ſunt ⁊ appꝛehendere appetunt: reco
gnoſcant. Nobis enim in hoc ſtudio argumen
ti fuit: et fidem facte rei tradere ⁊ operātis dei
intelligendam diligenter eſſe diſpoſitionem a
querentibus non tacere.

Explicit argumentum.

© Biblioteca Nacional de España

Το κατά ματθαίον άγιον ευαγγέλιον. Cap. i.

Βίβλος γενέσεως ιησού χριστού υιού δαυίδ υιού αβραάμ. αβραάμ εγέννησε τον ισαάκ. ισαάκ δε εγέννησε τον ιακώβ. ιακώβ δε εγέννησε τον ιούδαν, και τους αδελφούς αυτού. ιούδας δε εγέννησε τον φαρές και τον ζαρά εκ της θάμαρ. φαρές δε εγέννησε τον εσρώμ. εσρώμ δε εγέννησε τον αράμ. αράμ δε εγέννησε τον αμιναδάβ. αμιναδάβ δε εγέννησε τον ναασσών. ναασσών δε εγέννησε τον σαλμών. σαλμών δε εγέννησε τον βοόζ εκ της ραχάβ. βοόζ δε εγέννησε τον ωβήδ εκ της ρούθ. ωβήδ δε εγέννησε τον ιεσσαί. ιεσσαί δε εγέννησε τον δαυίδ τον βασιλέα. δαυίδ δε ο βασιλεύς εγέννησε τον σολομώντα εκ της του ουρίου. σολομών δε εγέννησε τον ροβοάμ. ροβοάμ δε εγέννησε τον αβιά. αβιά δε εγέννησε τον ασά. ασά δε εγέννησε τον ιωσαφάτ. ιωσαφάτ δε εγέννησε τον ιωράμ. ιωράμ δε εγέννησε τον οζίαν. οζίας δε εγέννησε τον ιωάθαμ. ιωάθαμ δε εγέννησε τον άχαζ. άχαζ δε εγέννησε τον εζεκίαν. εζεκίας δε εγέννησε τον μανασσή. μανασσής δε εγέννησε τον αμών. αμών δε εγέννησε τον ιωσίαν. ιωσίας δε εγέννησε τον ιεχονίαν και τους αδελφούς αυτού επί της μετοικεσίας βαβυλώνος. μετά δε την μετοικεσίαν βαβυλώνος ιεχονίας εγέννησε τον σαλαθιήλ. σαλαθιήλ δε εγέννησε τον ζοροβάβελ. ζοροβάβελ δε εγέννησε τον αβιούδ. αβιούδ δε εγέννησε τον ελιακείμ. ελιακείμ δε εγέννησε τον αζώρ. αζώρ δε εγέννησε τον σαδώκ. σαδώκ δε εγέννησε τον αχείμ. αχείμ δε εγέννησε τον ελιούδ. ελιούδ δε εγέννησε τον ελεάζαρ. ελεάζαρ δε εγέννησε τον ματθάν. ματθάν δε εγέννησε τον ιακώβ. ιακώβ δε εγέννησε τον ιωσήφ τον άνδρα μαρίας, εξ ης εγεννήθη ιησούς ο λεγόμενος χριστός. πάσαι ουν αι γενεαί από αβραάμ έως δαυίδ, γενεαί δεκατέσσαρες. και από δαυίδ έως της μετοικεσίας βαβυλώνος, γενεαί δεκατέσσαρες. και από της μετοικεσίας βαβυλώνος έως του χριστού, γενεαί δεκατέσσαρες. του δε ιησού χριστού η γέννησις ούτως ην. μνηστευθείσης γαρ της μητρός αυτού μαρίας τω ιωσήφ, πριν η συνελθείν αυτούς, ευρέθη εν γαστρί έχουσα εκ πνεύματος αγίου. ιωσήφ δε ο ανήρ αυτής δίκαιος ων, και μη θέλων αυτήν παραδειγματίσαι, εβουλήθη λάθρα απολύσαι αυτήν. ταύτα δε αυτού ενθυμηθέντος, ιδού άγγελος κυρίου κατόναρ εφάνη αυτώ λέγων. ιω

Euangelium ſcdm Mattheū. Cap. j.

A

Liber gñatiōis ieſu chriſti filij dauid filij abraā. Abraā genuit yſaac. Iſaac aūt genuit iacob. Iacob aūt genuit iudam: et fratres eius. Judas autem genuit phares et zaram de thamar. Phares aūt genuit eſrō. Eſrō aūt genuit aram. Aram autem genuit aminadab. Aminadab aūt genuit naaſon. Naaſon aūt genuit ſalmon. Salmon aūt genuit booz de raab. Booz autē genuit obeth ex ruth. Obeth autē genuit ieſſe. Jeſſe autem genuit dauid regem. Dauid autem rex genuit ſalomonem ex ea que fuit vrie. Salomō aūt genuit roboā. Roboam autē genuit abiam. Abia autē genuit aſa. Aſa autem genuit ioſaphat. Joſaphat aūt genuit ioram. Joram aūt genuit oziam. Ozias autem genuit ioathā. Joathā aūt genuit achaz. Achaz aūt genuit ezechiam. Ezechias aūt genuit manaſſen. Manaſſes aūt genuit amō. Amō aūt genuit ioſiā. Joſias aūt genuit iechoniam et fratres eius in trāſmigratione babylonis. Et p⁹ trāſmigrationē babylōis iechōias genuit ſalathiel. Salathiel autem genuit zorobabel. Zorobabel autem genuit abiud. Abiud autem genuit eliachim. Eliachim aūt genuit azor. Azor aūt genuit ſadoch. Sadoch aūt genuit achim. Achim autē genuit eliud. Eliud aūt genuit eleazar. Eleazar autē genuit mathan. Mathan autē genuit iacob. Jacob autem genuit Joſeph virum marie: de qua natus eſt ieſus q̄ vocat̄ xp̄s. Oēs itaq̄ gñationes ab abraā vſq̄ ad dd: gñationes q̄tuordeci. ꝛ a dauid vſq̄ ad trāſmig̃tionē babylonis: gñatiōes q̄tuordecim. ꝛ a trāſmigratione babylonis vſq̄ ad xp̄m: gñatōes q̄tuordecim. Chriſti autem generatio ſic erat. Cum eſſet deſponſata mater eius maria ioſeph: ante q̄ conuenirent: inuenta eſt in vtero habens de ſpiritu ſancto. Joſeph autem vir eius cum eſſet iuſtus: et nollet eā traducere: voluit occulte dimittere eam. Hec aūt eo cogitante: ecce angel⁹ dñi apparuit in ſomnis ioſeph dicēs. Jo

Luce. 3.c. Johan. 1.a. Gen. 21.a. 1. Parali. a. 1.b Gen. 25.d. Gen. 29.g. Gen. 38.g.

Ruth. 4.d.

1. Para. 2 a 2. reg. 12.f. 1. Par. 3.b 3. reg. 11.g 1. Par. 5.b

B

1. Para. 3 c

C

Luce. 1. G

D

© Biblioteca Nacional de España

σήφ υιός δαυίδ, μη φοβηθής παραλαβείν
μαριάμ τὴν γυναίκα σου. τὸ γαρ εν αυτή
γεννηθέν, εκ πνεύματος εστίν αγίου. τέξε-
ται δε υιόν και καλέσεις τὸ όνομα αυτού
ιησούν. αυτός γαρ σώσει τὸν λαόν αυτού
από τὼν αμαρτιών αυτών. τούτο δε όλον
γέγονεν ίνα πληρωθή τὸ ρηθέν υπό τὸυ
κυρίου διά τὸυ προφήτου λέγοντος. ι-
δού η παρθένος εν γαστρί έξει, και τέξεται
υιόν, και καλέσουσι τὸ όνομα αυτού εμμα
νουήλ, ο εστί μεθερμηνευόμενον μεθ ημών ὸ
θεός. διεγερθείς δε ὸ ιωσήφ από τὸυ ύπ-
νου, εποίησεν ως προσέταξεν αυτώ ὸ άγγε
λος κυρίου, και παρέλαβε τὴν γυναίκα αυ-
τού. και ουκ εγίνωσκεν αυτήν, έως ου έτε-
κε τὸν υιόν αυτής τὸν πρωτότοκον. και εκά
λεσε τὸ όνομα αυτού ιησούν. Cap. 2.

Του δε ιησού γεννηθέντος εν βηθλεέμ τὴς
ιουδαίας, εν ημέραις ηρώδου τὸυ βασι
λέως, ιδού μάγοι από ανατολών παραγέ
νοντο εις ιεροσόλυμα λέγοντες. που εστίν
ὸ τεχθείς βασιλεύς τὼν ιουδαίων. είδομεν
γαρ τὸν αστέρα αυτού εν τὴ ανατολή, και
ήλθομεν προσκυνήσαι αυτώ. ακούσας δε
ηρώδης ὸ βασιλεύς εταράχθη, και πάσα ιε
ροσόλυμα μετ αυτού. και συναγαγών πάν
τας τὸυς αρχιερείς και γραμματείς τὸυ λα
ού, επυνθάνετο παρ αυτών που ὸ χριστός
γεννάται. οι δε είπον αυτώ. εν βηθλεέμ
τὴς ιουδαίας. ούτως γαρ γέγραπται διά
τὸυ προφήτου. και συ βηθλεέμ γη ιούδα
ουδαμώς ελαχίστη ει εν τὸις ηγεμόσιν ιού
δα. εκ σου γαρ εξελεύσεται ηγούμενος, όσ
τις ποιμανεί τὸν λαόν μου τὸν ισραήλ. τό
τε ηρώδης λάθρα καλέσας τὸυς μάγους, η
κρίβωσε παρ αυτών τὸν χρόνον τὸυ φαινο
μένου αστέρος. και πέμψας αυτούς εις βη
θλεέμ, είπε. πορευθέντες ακριβώς εξετάσατε
περί τὸυ παιδίου. επάν δε εύρητε, απαγ-
γείλατε μοι, όπως καγώ ελθών προσκυνή-
σω αυτώ. οι δε ακούσαντες του βασιλέως,
επορεύθησαν. και ιδού ὸ αστήρ ον είδον
εν τὴ ανατολή προήγεν αυτούς, έως ελ-
θών έστη επάνω ου ην τὸ παιδίον. ιδόντες
δε τὸν αστέρα, εχάρησαν χαράν μεγάλην
σφόδρα. και ελθόντες εις τὴν οικίαν, είδον
τὸ παιδίον μετά μαρίας τὴς μητρός αυτού.
και πεσόντες προσεκύνησαν αυτώ, και α-
νοίξαντες τὸυς θησαυρούς αυτών προσήνεγ
καν αυτώ δώρα. χρυσόν, και λίβανον, και
σμύρναν. και χρηματισθέντες κατ όναρ μη
ανακάμψαι προς ηρώδην, δι άλλης οδού
ανεχώρησαν εις τὴν χώραν αυτών. αναχω

ſeph fili david: noli timere accipere
mariã coniugẽ tuã. Quod enim in ea
natuȝ eſt de ſpiritu ſancto eſt. Pariet
autem filium et vocabis nomen eius
ieſuȝ. Ipſe enim ſaluũ faciet pplm ſuũ
a peccatis eorum. Hoc autem totum
factũ eſt: vt adipleret quod dictũ eſt a
dño per prophetam dicentem. Ecce Eſaie.7.c.
virgo in vtero habebit: et pariet
filiũ: ⁊ vocabitur nomẽ ei⁹ Emanuel:
quod eſt interpretatum nobiſcum
deus. Exurgens aũt ioſeph a ſomno:
fecit ſicut precepit ei angelus
domini: et accepit coniugem ſuam.
Et nõ cognoſcebat eaȝ: donec peperit
filium ſuum primogenitum: ⁊ vocauit
nomen eius ieſum. Cap. 2.

Cum ergo nat⁹ eẽt ieſus i bethleeȝ A
iudee in diebus herodis regis:
ecce magi ab oriente venerunt
hieroſolymam dicentes. Ubi eſt
qui natus eſt rex iudeorum. Uidimus
enim ſtellam eius in oriente et
venimus adorare eum. Audiens autẽ h. Uenimus pri xpis.
herodes rex turbatus eſt: ⁊ ois hiero-
ſolyma cum illo. Et congregãs omnes
principes ſacerdotum ⁊ ſcribas populi:
ſciſcitabatur ab eis vbi chriſtus
naſceret. At illi dixerũt ei. In bethle Johan.7.f.
em iudee. Sic enim ſcriptuȝ eſt per
prophetaȝ. Et tu bethleem terra iuda: Miche.5.a
nequaq̃ꝫ minima es in principib⁹ iuda.
Ex te enim exiet dux qui
regat populũ meum iſrael. Tunc B
herodes clã vocatis magis: diligẽter di
dicit ab eis tempus ⌈ bethleẽ
ſtelle q̃ apparuit eis. Et mittẽs illos in
dixit. Ite et interrogate diligenter
de puero: ⁊ cum inueneritis renunciate
mihi: vt et ego veniens adorem
eum. Qui cum audiſſent regem:
abierunt. Et ecce ſtella quam viderãt
i oriẽte: añcedebat eos vſq₃dũ veniens
ſtaret ſupra vbi erat puer. Uidentes
autẽ ſtellam: gauiſi ſũt gaudio magno Tob.11.d.
valde. Et intrantes domũ inuenerunt
puerum cum maria matre eius:
⁊ procidentes adorauerũt eũ: ⁊ apertis
theſauris ſuis obtulerunt
ei munera: aurum thus et
myrrhã. Et reſpõſo accepto i ſõnis ne C
redirẽt ad herodem: per aliam viam
reuerſi ſunt in regionẽ ſuam. Qui cuȝ

© Biblioteca Nacional de España

ρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος κυρί-
ου φαίνεται κατ᾽ ὄναρ τῷ ἰωσήφ, λέγων. ἐ-
γερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέ-
ρα αὐτοῦ, καὶ φεῦγε εἰς αἴγυπτον, καὶ ἴσθι
ἐκεῖ, ἕως ἂν εἴπω σοι. μέλλει γὰρ ἡρώδης
ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό. ὁ
δὲ ἐγερθεὶς, παρέλαβε τὸ παιδίον καὶ τὴν
μητέρα αὐτοῦ νυκτὸς, καὶ ἀνεχώρησεν εἰς
αἴγυπτον. καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς ἡ-
ρώδου. ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυ-
ρίου διὰ τοῦ προφήτου λέγοντος. ἐξ αἰγύ-
πτου ἐκάλεσα τὸν υἱόν μου. τότε ἡρώδης ἰ-
δὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώ-
θη λίαν. καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς
παῖδας τοὺς ἐν βηθλεέμ, καὶ ἐν πᾶσι τοῖς
ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω,
κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν
μάγων. τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ ἱερε-
μίου τοῦ προφήτου λέγοντος. φωνὴ ἐν ῥα-
μᾷ ἠκούσθη. θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρ-
μὸς πολύς. ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐ-
τῆς. καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ
εἰσί. τελευτήσαντος δὲ τοῦ ἡρώδου, ἰδοὺ
ἄγγελος κυρίου κατ᾽ ὄναρ φαίνεται τῷ ἰω-
σὴφ ἐν αἰγύπτῳ λέγων. ἐγερθεὶς παράλα-
βε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ
πορεύου εἰς γῆν ἰσραήλ. τεθνήκασι γὰρ οἱ
ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. ὁ δὲ ἐ-
γερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέ-
ρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν ἰσραήλ. ἀκού-
σας δὲ ὅτι ἀρχέλαος βασιλεύει ἐπὶ τῆς ἰου-
δαίας ἀντὶ ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφο-
βήθη ἐκεῖ ἀπελθεῖν. χρηματισθεὶς δὲ κατ᾽ ὄ-
ναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς γαλιλαί-
ας. καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομέ-
νην ναζαρέτ. ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ
τῶν προφητῶν, ὅτι ναζωραῖος κληθή-
σεται. Cap. 3.

Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνε-
ται ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν
τῇ ἐρήμῳ τῆς ἰουδαίας καὶ λέγων. μετανο-
εῖτε. ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.
οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ ἡσαΐου τοῦ
προφήτου λέγοντος. φωνὴ βοῶντος ἐν τῇ
ἐρήμῳ. ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθεί-
ας ποιεῖτε τὰς τρίβους αὐτοῦ. αὐτὸς δὲ ὁ
ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τρι-
χῶν καμήλου. καὶ ζώνην δερματίνην περὶ
τὴν ὀσφὺν αὐτοῦ. ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀ-
κρίδες καὶ μέλι ἄγριον. τότε ἐξεπορεύετο
πρὸς αὐτὸν, ἱεροσόλυμα καὶ πᾶσα ἰου-
δαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ ἰορδάνου,
καὶ ἐβαπτίζοντο ἐν τῷ ἰορδάνῃ ὑπ᾽ αὐτοῦ,

recessissent: ecce angelus domini
apparuit in somnis ioseph: dicēs. Sur-
ge et accipe puerum et matrem
eius et fuge in egyptum: et esto
ibi vsq3 dū dicā tibi. Futurum ē n. vt
qrat puer ad pdēdū eū. Qui herodes
consurgens accepit puerum et
matrem eius nocte: et secessit in
egyptū. Et erat ibi vsq3 ad obitū hero-
dis: vt adimpleret qd dictum est a domi-
no per prophetam dicentem. Ex egy- Osee. 11. a.
pto vocaui filiū meū. Tūc herodes vi-
dens quoniā illusus esset a magis irat9
est valde: et mittens occidit omnes
pueros qui erāt in bethleē et in omnibus
finibus eius a bimatu et infra:
scdm tēpus qd exquisierat a hieremiā
magis. Tūc adimpletū est qd dctm ē p
prophetam dicentem. Vox in rama Hiere. 3. g.
audita est: ploratus et vlulatus & 31. c.
multus: rachel plorans filios suos Threnorum
et noluit consolari quia non 1. a.
sunt. Defuncto autem herode: ecce D
angelus dñi apparuit in sōnis ioseph
in egypto dicens. Surge et accipe
puerum et matrem eius: et
vade in terrā israel. Defuncti sūt enim
qui querebāt aiam pueri. Qui consur-
gens accepit puerum et matrem
eius: et venit in terrā israel. Audiens
aūt q archelaus regnaret in iudea
pro herode patre suo timuit
illo ire: et ammonitus in somnis
secessit in partes galilee. catur
Et veniens habitauit in ciuitate q vo-
nazareth: vt adimpleretur qd dictū est p
prophetas: quoniam nazareus vocabi-
tur. Cap. 3.

In diebus autem illis venit A
iohannes baptista predicans in c. Venit pse tis tpis.
deserto iudee et dicens. Penitentiam agite: Luce. 3. a.
appropinquauit enim regnum celorum. Johan. 1. b.
Hic est enim de quo dictum est p esaiā
prophetam dicentē. Vox clamātis in Esa. 40. a.
deserto parate viam dñi: rectas Marci. 1. a
facite semitas eius. Ipse autem Johan. 1. c
iohannes habebat vestimentū de pilis
camelorū et zonā pelliceam circa
lumbos suos. Esca autem eius erat lo-
custe et mel siluestre. Tunc exibat B
ad eum hierosolyma et omnis iudea
et omnis regio circa iordanem: Luce. 3. b.
et baptizabantur ab eo in iordane Johan. 3. c.

© Biblioteca Nacional de España

εξομολογούμενοι τας αμαρτίας αυτών. ιδών δε πολλούς των φαρισαίων και σαδδουκαίων ερχομένους επί το βάπτισμα αυτού, είπεν αυτοίς. γεννήματα εχιδνών τις υπέδειξεν υμίν φυγείν από της μελλούσης οργής. ποιήσατε ουν καρπόν άξιον της μετανοίας. και μη δόξητε λέγειν εν εαυτοίς πατέρα έχομεν τον αβραάμ. λέγω γαρ υμίν ότι δύναται ο θεός εκ των λίθων τούτων εγείραι τέκνα τω αβραάμ. ήδη δε και η αξίνη πρός την ρίζαν των δένδρων κείται. πάν ουν δένδρον μη ποιούν καρπόν καλόν, εκκόπτεται και εις πυρ βάλλεται. εγώ μεν βαπτίζω υμάς εν ύδατι εις μετάνοιαν. ο δε οπίσω μου ερχόμενος ισχυρότερος μου εστίν. ου ουκ ειμί ικανός τα υποδήματα βαστάσαι. αυτός υμάς βαπτίσει εν πνεύματι αγίω. ου το πτύον εν τη χειρί αυτού. και διακαθαριεί την άλωνα αυτού. και συνάξει τον σίτον αυτού εις την αποθήκην. το δε άχυρον κατακαύσει πυρί ασβέστω. Τότε παραγίνεται ο ιησούς από της γαλιλαίας εις τον ιορδάνην προς τον ιωάννην του βαπτισθήναι υπ' αυτού. ο δε ιωάννης διεκώλυεν αυτόν λέγων. εγώ χρείαν έχω υπό σου βαπτισθήναι, και συ έρχη προς με. αποκριθείς δε ο ιησούς είπε πρός αυτόν. άφες άρτι. ούτω γαρ πρέπον εστίν ημίν πληρώσαι πάσαν δικαιοσύνην. Τότε αφίησιν αυτόν. και βαπτισθείς ο ιησούς, ανέβη ευθύς από του ύδατος. και ιδού ανεώχθησαν αυτώ οι ουρανοί. και είδε το πνεύμα του θεού καταβαίνον ωσεί περιστεράν, και ερχόμενον επ' αυτόν. και ιδού φωνή εκ των ουρανών λέγουσα. ούτος εστίν ο υιός μου ο αγαπητός εν ω ευδόκησα.

Cap. 4.

Τότε ο ιησούς ανήχθη εις την έρημον υπό του πνεύματος πειρασθήναι υπό του διαβόλου και νηστεύσας ημέρας τεσσαράκοντα και νύκτας τεσσαράκοντα, ύστερον επείνασε. και προσελθών αυτώ ο πειράζων, είπεν. ει υιός ει του θεού, ειπέ ίνα οι λίθοι ούτοι άρτοι γένωνται. ο δε αποκριθείς είπε. γέγραπται, ουκ επ' άρτω μόνω ζήσεται άνθρωπος. αλλ' επί παντί ρήματι εκπορευομένω διά στόματος θεού. Τότε παραλαμβάνει αυτόν ο διάβολος εις την αγίαν πόλιν. και ίστησιν αυτόν επί το πτερύγιον του ιερού. και λέγει αυτώ. ει υιός ει του θεού, βάλε σεαυτόν κάτω. γέγραπται γαρ. ότι τοις αγγέλοις αυτού εντελείται περί σου. και επί χειρών αρούσι σε, μήποτε

confitentes peccata ſua. Videns autem multos phariſeorum et ſaduceorum venientes ad baptiſmum ſuum dixit eis. Progenies viperarum quis demonſtrauit vobis fugere a ventura ira. Facite ergo fructum dignum penitētie. Et ne velitis dicere intra vos patrem habemus abraam. Dico enim vobis: q̄m̄ potēs eſt deꝰ de lapidibꝰ iſtis ſuſcitare filios abrae. Iam enim ſecuris ad radicem arborum poſita eſt. Omnis ergo arbor que non facit fructum bonum excidetur et in ignem mittetur. Ego quidem baptizo vos in aqua in penitētiā: q̄ aūt poſt me vēturꝰ eſt: fortior me eſt: cuius non ſum dignus calciamenta portare. Ipſe vos baptizabit in ſpū ſctō ⁊ igni: Cuiꝰ vētilabrū in manu ſua: ⁊ ꝑmundabit aream ſuam: ⁊ congregabit triticum in horreū ſuū: paleas autē comburet igni inextinguibili. Tunc venit ieſus a galilea in iordanem ad iohannē vt baptizaret ab eo. Iohānes aūt prohibebat eū dicēs. Ego a te debeo baptizari ⁊ tu venis ad me? Rn̄dens aūt ieſus dixit ei. Sine modo. Sic enim decet nos implere omnem iuſticiam. Tunc dimiſit eum. Baptizatus autem ieſus: confeſtim aſcendit de aqua. Et ecce aperti ſunt ei celi: et vidit ſpiritum dei deſcendentem ſicut columbam: ⁊ venientem ſuper ſe. Et ecce vox de celis dicens: Hic eſt filius meꝰ dilectus in quo michi cōplacui.

Cap. 4.

Tunc ieſus ductꝰ eſt in deſertū a ſpiritu vt temptaretur a diabolo: ⁊ cū ieiunaſſet q̄dragita diebus ⁊ quadraginta noctibus: poſtea eſuriit. Et accedens temptator dixit ei. Si filiꝰ dei es: dic vt lapides iſti panes fiant. Qui reſpondens dixit. Scriptū eſt. Nō in ſolo pane viuet homo: ſed in omni verbo quod procedit de ore dei. Tunc aſſumpſit eum diabolus in ſanctam ciuitatem: ⁊ ſtatuit eum ſuper pinaculum templi et dixit ei. Si filius dei es: mitte te deorſū. Scriptū eſt enī quia angelis ſuis mandabit de te: ⁊ in manibus tollent te: ne forte

Luce. 3.b. ī.23.b.
C
m. Abrae dri caſus.
ī.7.d.
Mar. 1.b. Luce. 3.d. Johan. 1.d. Actu. 1.a.⁊ 11.b.⁊.19.a
D
Marc. 1.b. Luce. 3.d. Johan. 1.d.
Marc. 1.b. ī.17.b.
A
Mar. 1.b. Luce. 4.a.
Exo. 34.d.
Deuter. 8.a Luce. 4.a.
ps. 90.

© Biblioteca Nacional de España

προσκόψης πρός λίθον τον πόδα σου. ἔ=
φη αυτῶ ο ιησοῦς πάλιν. γέγραπται. ουκ
εκπειράσεις κύριον τον θεόν σου. πάλιν
παραλαμβάνει αυτόν ο διάβολος εις όρος
υψηλόν λίαν. και δείκνυσιν αυτῶ πάσας
τας βασιλείας του κόσμου, και την δόξαν
αυτῶν, και λέγει αυτῶ. ταυτα πάντα σοι
δώσω, εάν πεσών προσκυνήσης μοι. τότε
λέγει αυτῶ ο ιησοῦς. ύπαγε οπίσω μου
σατανά. γέγραπται γαρ. κύριον τον θεόν
σου προσκυνήσεις και αυτῶ μόνω λατρεύ
σεις. τότε αφίησιν αυτόν ο διάβολος. και ι=
δού άγγελοι προσῆλθον και διηκόνουν αυ
τῶ. ακούσας δε ο ιησοῦς ότι ιωάννης παρε
δόθη, ανεχώρησεν εις την γαλιλαίαν, και κα
ταλιπών την ναζαρέτ, ελθών κατώκησεν εις
καπερναούμ την παραθαλασσίαν, εν ορίοις
ζαβουλών και νεφθαλείμ. ίνα πληρωθῆ το
ρηθέν διά ησαΐου του προφήτου λέγον=
τος. γῆ ζαβουλών και γῆ νεφθαλείμ. οδόν
θαλάσσης πέραν του ιορδάνου. γαλιλαία
τῶν εθνῶν ο λαός ο καθήμενος εν σκότει εί
δε φῶς μέγα. και τοις καθημένοις εν χώρα
και σκιά θανάτου, φῶς ανέτειλεν αυτοίς.
από τότε ήρξατο ο ιησοῦς κηρύσσειν και
λέγειν. μετανοείτε. ήγγικε γαρ η βασιλεία
τῶν ουρανῶν. περιπατῶν δε παρά την θά
λασσαν της γαλιλαίας είδε δύο αδελφούς.
σίμωνα τον λεγόμενον πέτρον. και ανδρέ
αν τον αδελφόν αυτού, βάλλοντας αμφί=
βληστρον εις την θάλασσαν. ἦσαν γαρ αλι=
είς. και λέγει αυτοίς. δεῦτε οπίσω μου, και
ποιήσω υμάς αλιείς ανθρώπων. οι δε ευ
θέως αφέντες τα δίκτυα ηκολούθησαν αυ=
τῶ. και προβάς εκείθεν, είδεν άλλους δύο
αδελφούς. ιάκωβον τον του ζεβεδαίου. και
ιωάννην τον αδελφόν αυτού εν τῶ πλοίω
μετά ζεβεδαίου του πατρός αυτῶν, καταρ
τίζοντας τα δίκτυα αυτῶν. και εκάλεσεν αυ
τούς. οι δε ευθέως αφέντες το πλοίον και
τον πατέρα αυτῶν, ηκολούθησαν αυτῶ.
και περιήγεν όλην την γαλιλαίαν ο ιησοῦς
διδάσκων εν ταις συναγωγαίς αυτῶν και
κηρύσσων το ευαγγέλιον της βασιλείας.
και θεραπεύων πάσαν νόσον και πάσαν μα
λακίαν εν τῶ λαῶ. και απῆλθεν η ακοή αυ=
τού εις όλην την συρίαν. και προσήνεγκαν
αυτῶ πάντας τους κακῶς έχοντας ποικί=
λαις νόσοις και βασάνοις συνεχομένους, και
δαιμονιζομένους, και σεληνιαζομένους, και
παραλυτικούς. και εθεράπευσεν αυτούς.
και ηκολούθησαν αυτῶ όχλοι πολλοί α
πό της γαλιλαίας, και δεκαπόλεως, και ιε=

offendas ad lapidem pedem tuũ. Ait
illi ieſus rurſum. Scriptum eſt. Non
temptabis dñm deum tuum. Iterum
aſſumpſit eum diabolus in montem
excelſum valde: ⁊ oſtendit ei omnia
regna mundi ⁊ gloriam
eorum: ⁊ dixit ei. Hec omnia tibi
dabo: ſi cadẽs adoraueris me. Tunc
dicit ei ieſus. Uade retro me
ſathana. Scriptum eſt enim: Dñz deũ
tuum adorabis ⁊ illi ſoli ſeruies.
Tunc reliquit eum diabolus: ⁊ ecce
angeli acceſſerunt ⁊ miniſtrabant ei.
Cum aũt audiſſet ieſus φ iohãnes tra
ditus eſſet: ſeceſſit in galileam: ⁊ relicta
ciuitate nazareth: venit ⁊ hĩtauit in
ciuitate capharnaũ maritima: in finibus
zabulon ⁊ neptalim: vt adimpleretur
qđ dictũ eſt per eſaiam prophetã dicen
tem. Terra zabulon ⁊ terra neptali via
maris trans iordanẽ galilea bris: vi
gẽtiũ: populus qui ambulabat in tene
dit lucẽ magnã: ⁊ ſedentib⁹ in regione
⁊ vmbra mortis lux orta eſt eis.
Exide cepit ieſus p̄dicare ⁊ regnũ
dicere. Pniaz agite. Appꝓinquit eni
celorum. Ambulãs aũt ieſus iuxta ma
re galilee vidit duos fratres
ſimonem qui vocatur petrus et andre
am fratrem eius mittentes rete
in mare: Erant enim piſcatores.
Et ait illis venite poſt me et
faciã vos fieri piſcatores hoĩz. At illi ꝯ
tinuo relictis retibus ſecuti ſunt eum.
Et procedens inde vidit alios duos
fratres iacobum zebedei et
iohannem fratrem eius in naui
cum zebedeo patre eorum reficientes
retia ſua: et vocauit eos.
Illi autem ſtatim relictis retibus et
patre ſecuti ſunt eum.
Et circuibat ieſus totã galileam
docẽs in ſynagogis eoꝝ ⁊
predicans euangelium regni:
et ſanans omnem languorẽ ⁊ omnẽ in
firmitatem in populo. Et abiit opinio e
ius in totam ſyriam: et obtulerunt
ei omnes male habentes varijs
lãguoribus ⁊ tormẽtis comprehenſos: ⁊
qui demonia habebant ⁊ lunaticos et
paralyticos et curauit eos.
Et ſecute ſunt eum turbe multe de
galilea et decapoli et de hie=

B
Deut. 6.c.
Deu. 6.b.⁊ 10.d.
Apoc. 15.c.
Marc. 1.b.
Luce. 4.b.
Marc. 1.c.
Johan. 3.c.
Johan. 3.c. ⁊. 4.f.
Eſaie. 9.a.
C
Marc. 1.c. ⁊. 10.b.
Marci. 1.c.
Luce. 5.b. ⁊. 8.c.
D
Marci. 1.c.
Marc. 3.b.
Luce. 4.b.
Johan. 6.a ⁊. 14.g.

© Biblioteca Nacional de España

ροσολύμων, και ιουδαίας, και πέραν/του
ιορδάνου. Cap.5.
Ιδών δε/τους όχλους, ανέβη εις/το ό=
ρος. και καθίσαντος αυτού, προσήλ=
θον αυτώ/οι μαθηταί αυτού. και ανοίξας/το
στόμα αυτού, εδίδασκεν αυτούς λέγων.
μακάριοι/οι πτωχοί/τω πνεύματι, ότι αυ=
τών εστίν/η βασιλεία/των ουρανών. μακάρι
οι/οι πενθούντες, ότι αυτοί παρακληθήσον
ται. μακάριοι/οι πραείς, ότι αυτοί κληρο
νομήσουσι/την γην. μακάριοι/οι πεινώντες
και διψώντες/την δικαιοσύνην, ότι αυτοί
χορτασθήσονται. μακάριοι/οι ελεήμονες, ό
τι αυτοί ελεηθήσονται. μακάριοι/οι καθαροί
/τη καρδία, ότι αυτοί/τον θεόν όψονται.
μακάριοι/οι ειρηνοποιοί, ότι αυτοί υιοί θεού
κληθήσονται. μακάριοι/οι δεδιωγμένοι ένε=
κεν δικαιοσύνης, ότι αυτών εστίν/η βασι=
λεία/των ουρανών. μακάριοι εστέ όταν ονει
δίσωσιν υμάς και διώξωσι, και είπωσι παν
πονηρόν ρήμα καθ υμών ψευδόμενοι ένε=
κεν εμού. χαίρετε και αγαλλιάσθε ότι/ο μισ
θός υμών πολύς εν/τοις ουρανοίς, ούτως
γαρ εδίωξαν/τους προφήτας/τους προ υ
μών. υμείς εστέ/το άλας/της γης. εάν δε/το
άλας μωρανθή, εν τίνι αλισθήσεται. εις ου
δέν ισχύει έτι, ει μή βληθήναι έξω, και κα=
ταπατείσθαι υπό/των ανθρώπων. υμείς εσ=
τέ/το φώς/του κόσμου. ου δύναται πόλις
κρυβήναι επάνω όρους κειμένη. ουδέ καίου
σι λύχνον και τιθέασιν αυτόν υπό/τον μό=
διον, αλλ επί/την λυχνίαν. και λάμπει πά
σι/τοις εν/τη οικία. ούτως λαμψάτω/το
φως υμών έμπροσθεν/των ανθρώπων, ό=
πως ίδωσιν υμών/τα καλά έργα. και δοξά=
σωσι/τον πατέρα υμών/τον εν/τοις ουρα=
νοίς. μη νομίσητε ότι ήλθον καταλύσαι
/τον νόμον η/τους προφήτας. ουκ ήλθον κα
ταλύσαι, αλλά πληρώσαι. αμήν γαρ λέ=
γω υμίν, εώς αν παρέλθη/ο ουρανός και/η
γη, ιώτα εν η μία κεραία ου μή παρέλθη
από/του νόμου έως αν πάντα γένηται. ος
εάν ουν λύση μίαν/των εντολών τούτων
/των ελαχίστων και διδάξει ούτως/τους αν
θρώπους, ελάχιστος κληθήσεται εν/τη βασι
λεία/των ουρανών. ος δάν ποιήση και δι=
δάξη, ούτος μέγας κληθήσεται εν/τη βασι=
λεία/των ουρανών, λέγω γαρ υμίν ότι εάν
μη περισσεύση/η δικαιοσύνη υμών πλείον
/των γραμματέων και φαρισαίων, ου μή ει
σέλθητε εις/την βασιλείαν/των ουρανών. η=
κούσατε ότι ερρέθη/τοις αρχαίοις. ου φονεύ
σεις. ος δαν φονεύση, ένοχος έσται/τη κρί=

roſolymis ⁊ de iudea ⁊ de tranſ=
iordanem. Cap.5.
Videns autem turbas aſcendit in mõ= A
tem: ⁊ cum ſediſſet acceſſerunt
ad eum diſcipuli eius. ⁊ aperiens Luce.6.c.
os ſuum docebat eos dicens.
Beati pauperes ſpiritu: quoniã ipſoꝝ
eſt regnum celorum. Beati Luce.6.c.
qui lugent: quoniam ipſi conſolabunt̃.
Beati mites: quoniam ipſi poſſidebũt
terram. Beati qui eſuriunt
⁊ ſitiunt iuſticiam: quoniaꝫ ipſi
ſaturabuntur. Beati miſericordes qm̃
ipſi miaꝫ ꝯſequentur. Beati mũdo
corde: quoniam ipſi deum videbunt.
Beati pacifici: quoniam ipſi filij dei
vocabunt̃. Bti q̃ ꝑſecutionẽ patiunt̃ ꝓ= 1.Pet.3.c.
pter iuſticiam: quoniam ipſorum eſt re=
gnum celorum. Beati eſtis cum male= Luce.6.d.
dixerint vobĩ hoĩes ⁊ ꝑſecuti vos fuerint ⁊
malũ aduerſũ vos mẽtiẽtes ⌊dixerint oẽ
ꝑꝑ me. Gaudete ⁊ exultate: qm̃ mer= B
ces veſtra copioſa eſt in celis. Sic
.n. ꝑſecuti ſũt ꝓphãs q̃ fuerũt añ vos.
Vos eſtis ſal terre. Quod ſi Mar.9.g. Luce.14.g
ſal euanuerit: in quo ſalietur? Ad ni=
hilũ valꝫ vltra: niſi vt mittat̃ foras: ⁊ ꝯ
culcetur ab hominibus. Vos eſtis
lux mundi. Non poteſt ciuitas Mar.4.d.
abſcondi ſupra montẽ poſita: neqꝫ accẽ= Luce.8.c. ⁊.11.c.
dunt lucernam ⁊ ponunt eã ſub modio:
ſꝫ ſuper cãdelabrũ vt luceat omnibus
qui in domo ſunt. Sic luceat Rom.12.d.
lux veſtra coram hominibus: vt
videant opera veſtra bona: ⁊ glorificẽt
patrem veſtrum qui in celis eſt.
Nolite putare qm̃ veni ſoluere
legem aut prophetas. Non veni ſol=
uere: ſed adimplere. Amen quippe di= Luce.16.d.
co vobis: donec tranſeat celum ⁊
terra: iota vnũ aut apex vnus nõ p̃te= C
a lege: donec om̃ia fiãt. Qui ⌊ribit Jacob.2.b.
ergo ſoluerit vnum de mandatis iſtis Actu.1.a.
minimis ⁊ docuerit ſic ho= Jacob.1.d.
mines: minimus vocabitur in regno
celorũ. Qui autem fecerit ⁊ docuerit:
hic magnus vocabitur in regno
celorũ. Dico autem vobis: qꝛ niſi
abundauerit iuſticia veſtra pluſqꝫ
ſcribarum ⁊ phariſeorum: non intrabi
tis in regnum celorum. Audiſtis Exo.20.b.
qꝛ dictum eſt antiquis non occides: Deut.5.b.
qui autez occiderit reus erit iudicio. Jacob.5.b.

© Biblioteca Nacional de España

σει. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζό-
μενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσ-
ται τῇ κρίσει. ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐ-
τοῦ ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ. ὃς
δ᾽ ἂν εἴπῃ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν
τοῦ πυρός. ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν
σου ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐκεῖ μνησθῇς
ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄ-
φες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυ-
σιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγη-
θι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσ-
φερε τὸ δῶρόν σου. ἴσθι εὐνοῶν τῷ ἀντι-
δίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ᾽
αὐτοῦ, μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ
κριτῇ, καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ,
καὶ εἰς φυλακὴν βληθήσῃ. ἀμὴν λέγω σοι
οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς τὸν
ἔσχατον κοδράντην. ἠκούσατε ὅτι ἐρρέθη
οὐ μοιχεύσεις. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι
πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆ-
σαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρ-
δίᾳ αὐτοῦ. εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς
σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ
